μος τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός
9 σου ἐκζητήσω. [9]σὺ δὲ ἐὰν προαπαγγείλῃς τῷ ἀσεβεῖ τὴν ὁδὸν αὐ-
τοῦ τοῦ ἀποστρέψαι ἀπ᾽ αὐτῆς, καὶ μὴ ἀποστρέψῃ ἀπὸ τῆς ὁδοῦ
αὐτοῦ, οὗτος τῇ ἀσεβείᾳ αὐτοῦ ἀποθανεῖται, καὶ σὺ τὴν ψυχὴν
10 σαυτοῦ ἐξῄρησαι. — [10]καὶ σύ, υἱὲ ἀνθρώπου, εἰπὸν τῷ οἴκῳ Ισραηλ
Οὕτως ἐλαλήσατε λέγοντες Αἱ πλάναι ἡμῶν καὶ αἱ ἀνομίαι ἡμῶν
ἐφ᾽ ἡμῖν εἰσιν, καὶ ἐν αὐταῖς ἡμεῖς τηκόμεθα· καὶ πῶς ζησόμεθα;
11 [11]εἰπὸν αὐτοῖς Ζῶ ἐγώ, τάδε λέγει κύριος Οὐ βούλομαι τὸν θάνα-
τον τοῦ ἀσεβοῦς ὡς τὸ ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐ-
τοῦ καὶ ζῆν αὐτόν. ἀποστροφῇ ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν·
12 καὶ ἵνα τί ἀποθνῄσκετε, οἶκος Ισραηλ; [12]εἰπὸν πρὸς τοὺς υἱοὺς
τοῦ λαοῦ σου Δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτὸν ἐν ᾗ ἂν
ἡμέρᾳ πλανηθῇ, καὶ ἀνομία ἀσεβοῦς οὐ μὴ κακώσῃ αὐτὸν ἐν ᾗ
ἂν ἡμέρᾳ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ· καὶ δίκαιος οὐ μὴ
13 δύνηται σωθῆναι. [13]ἐν τῷ εἶπαί με τῷ δικαίῳ Οὗτος πέποιθεν ἐπὶ
τῇ δικαιοσύνῃ αὐτοῦ, καὶ ποιήσῃ ἀνομίαν, πᾶσαι αἱ δικαιοσύναι
αὐτοῦ οὐ μὴ ἀναμνησθῶσιν· ἐν τῇ ἀδικίᾳ αὐτοῦ, ᾗ ἐποίησεν, ἐν
14 αὐτῇ ἀποθανεῖται. [14]καὶ ἐν τῷ εἶπαί με τῷ ἀσεβεῖ Θανάτῳ θανα-
τωθήσῃ, καὶ ἀποστρέψῃ ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ καὶ ποιήσῃ κρίμα
15 καὶ δικαιοσύνην [15]καὶ ἐνεχύρασμα ἀποδῷ καὶ ἅρπαγμα ἀποτείσῃ,
ἐν προστάγμασιν ζωῆς διαπορεύηται τοῦ μὴ ποιῆσαι ἄδικον, ζωῇ
16 ζήσεται καὶ οὐ μὴ ἀποθάνῃ· [16]πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ, ἃς ἥμαρ-
τεν, οὐ μὴ ἀναμνησθῶσιν· ὅτι κρίμα καὶ δικαιοσύνην ἐποίησεν,
17 ἐν αὐτοῖς ζήσεται. [17]καὶ ἐροῦσιν οἱ υἱοὶ τοῦ λαοῦ σου Οὐκ εὐθεῖα
18 ἡ ὁδὸς τοῦ κυρίου· καὶ αὕτη ἡ ὁδὸς αὐτῶν οὐκ εὐθεῖα. [18]ἐν τῷ
ἀποστρέψαι δίκαιον ἀπὸ τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιήσῃ ἀνο-
19 μίας, καὶ ἀποθανεῖται ἐν αὐταῖς· [19]καὶ ἐν τῷ ἀποστρέψαι τὸν
ἁμαρτωλὸν ἀπὸ τῆς ἀνομίας αὐτοῦ καὶ ποιήσῃ κρίμα καὶ δικαιο-
20 σύνην, ἐν αὐτοῖς αὐτὸς ζήσεται. [20]καὶ τοῦτό ἐστιν, ὃ εἴπατε Οὐκ

8 το δε] και το A || 9 του > BL: post αυτου | αποστρεψαι] + αυτον AL | ασεβεια] ανομια A | σ(ε)αυτου] σου A | εξηρησαι] ερρυσω A || 10 εφ ημιν] εφ ημας A†: cf. 4 || 11 ταδε B†] > rel.: cf. 𝔐 | κυριος Bpau.] pr. αδωναι rel.: cf. 25 5 5 | ασεβους] αμαρτωλου A | το > BQ† | αυτου] + τας πονηρας A: cf. inf. | της οδου ult.] των οδων Apau. = 𝔐 | υμων Bpau.] + των πονηρων Apau.; + της πονηρας Qmu. (in O sub ※) || 12 init. Bpau.] pr. και συ υιε ανθρωπου rel. (in O sub ※) | ασεβους] ανομου A | ου μη δυνησεται A | fin. B†] + εν ημερα αμαρτιας αυτου Amu. (in O sub ※); + εν η αν ημερα αμαρτη L || 13 δικαιω BQ†] + ζωη ζηση και rel. (in O sub ※) | ποιηση] pr. εαν A | ανομιαν] αδικιαν A | αυτου $2^0$] + ας εποιησεν A | αναμνησθ.] ανα > A: item in 16 || 14 αμαρτιας] ασεβειας A, ανομιας L || 15 ενεχυρον A | αποδω Qpl.] -δοι B, > A | αρπαγματα B† | προσταγματι A | ου μη αποθανειται A || 16 ημαρτεν] εποιησεν A | αναμνησθ. (cf. 13)] + ετι A†: ante οτι | αυτοις] -ταις B || 18 ανομιαν et εν αυτη A